*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*
*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΔΑΝΙΗΛ ΤΟΝ ΕΚ ΖΑΓΟΡΑΣ ΠΗΛΙΟΥ

Ἀθῆναι 2017


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΔΑΝΙΗΛ

# ΤΟΝ ΕΚ ΖΑΓΟΡΑΣ ΠΗΛΙΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΘ΄ Αὐγούστου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Φιλοκαλίας ἐραστὴν εὐσχημόνως
καὶ παραδόσεων πατρῴων πυξίον,
ἀσκήσεως καλλώπισμα λαμπρόν, Δανιήλ,
ἔνθεον διδάσκαλον Ἀρσενίου Ὁσίου,
νήσους ἁγιάσαντα τῶν Κυκλάδων ἀρτίως
ὡς Ζαγορᾶς θειότατον βλαστὸν
καὶ θεῖον πρέσβυν πιστῶν εὐφημήσωμεν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Δανιήλ, εὐσεβείας κέρας, εὐλόγει με. Χ.Μ.Μ."**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Δυνάμει δεήσεων, Δανιήλ,
τῶν σῶν ἀσιγήτων
πρὸς τὸν Ὕψιστον, ἀσκητά,
θεράπευσον πάσας ἀσθενείας
σαρκὸς ἡμῶν σε τιμώντων καὶ πνεύματος.

Ἀσκήσας ὡς ἄγγελος, Δανιήλ,
διώξεις ὑπέστης
δι' εὐσέβειαν ἐν καιροῖς
ἐσχάτοις, ὁ χάριν οὐρανόθεν
εὑρὼν πιστοὺς περισκέπειν ἀείποτε.

Νικήτορας δεῖξον κατὰ παθῶν
τοὺς σὲ ἀνυμνοῦντας,
πνευματέμφορε Δανιήλ,
τὸν πλάνον νικήσαντα ἀσκήσει
καὶ ἀγωγῇ ἀμωμήτῳ, πανόσιε.

**Θεοτοκίον.**

Ἱλέωσαι Κύριον καὶ Θεὸν
ἡμῖν, Θεοτόκε,
καταφεύγουσιν ἐν δεινοῖς
σῇ χάριτι, Κεχαριτωμένη,
Χριστιανῶν καταφύγιον, Δέσποινα.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἡλιόφωτε πάτερ,
τῆς Ζαγορᾶς αὔγασμα,
Δανιήλ, τοῦ Ἄθωνος φέγγος
φωτολαμπέστατον,
ζόφον ἡμῶν τῶν παθῶν
καὶ λογισμῶν τῶν ἀτάκτων
ἀστραπαῖς διάλυσον
σῶν παρακλήσεων.

Λυπηρῶν τὴν ὁμίχλην
καὶ συμφορῶν τάραχον,
Δανιήλ, ἀπέλασον τάχος
θείαις πρεσβείαις σου
πρὸς τὸν Σωτῆρα Χριστόν,

Αὐτοῦ ἐν τῷ Θαβωρίῳ
Ἀποστόλοις δείξαντα
δόξαν τὴν ἄῤῥητον.

Ἐκδυσώπει ἀπαύστως
τὸν Λυτρωτήν, Ὅσιε,
δοῦναι, Δανιήλ, σοῖς ἱκέταις
ἄμφω ὑγίειαν,
θεοειδὲς ἀσκητά,
τοῦ Ἀρσενίου ἀλεῖπτα,
ἐν τῇ Πάρῳ λάμψαντος
ἄρτι τοῖς θαύμασι.

**Θεοτοκίον.**

Ὑμνηπόλων σου φύλαξ,
Μῆτερ Θεοῦ ἄχραντε,
Κεχαριτωμένη Παρθένε,
θείαις ἐντεύξεσι
τοῦ θεαυγοῦς Δανιήλ,
ῥῦσαι ἡμᾶς ἐπωδύνων
λυπηρῶν καὶ θλίψεων
σὲ μεγαλύνοντας.

Διάσωσον
ἐκ τῶν παγίδων τοῦ ὄφεως σοὺς ἱκέτας,
πνευματέμφορε Δανιήλ, αὐτοῦ ὁ τὰ ἔνεδρα
πατήσας ἀσκήσει, εὐχῇ καὶ νήψει.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Εὐχῆς νοερᾶς καὶ νήψεως ἀκρώρεια,
σοφίας Θεοῦ παλάτιον, ἱκέτευε,
Δανιὴλ πανθαύμαστε,
τὸν εὐΐλατον Κτίστην καὶ Κύριον
δοῦναι ἡμῖν τιμῶσί σε λαμπρῶς
ἰσχὺν ἄμφω, Ὅσιε, καὶ δύναμιν.

**Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Σῶσον πάντας ἐκ θλίψεων,
Δανιήλ, τοὺς σπεύδοντας τῇ σῇ χάριτι
καὶ ὑμνοῦντας κατορθώματα
σοῦ τὰ ὑπὲρ λόγον τε καὶ ἔννοιαν.

Ἐπευλόγει ἱκέτας σου,
Δανιήλ, ἐν Πάρῳ, θεόφρον Ὅσιε,
Φολεγάνδρῳ προσπιπτούσῃ σε
καὶ Σικίνῳ, πάντοτε, ἰσάγγελε.

Βοηθὸς ἴσθι τάχιστος,
Δανιήλ, τοῖς πίστει ἀνευφημοῦσί σε
Ἀρσενίου ὡς διδάσκαλον
ἀπλανῆ Ὁσίου, τοῦ παμμάκαρος.

**Θεοτοκίον.**

Ἐν τοῦ βίου στενώσεσι
πίστει καταφεύγομεν τῇ σῇ χάριτι,
Θεοτόκε ἀειπάρθενε,
Κεχαριτωμένη παμμακάριστε.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

Ἵλεων ἡμῖν,
Δανιήλ, Χριστὸν ἀπέργασαι
τοῖς τιμῶσί σε ὡς μέγαν τηρητὴν
παραδόσεων πατρῴων, πάτερ Ὅσιε.

Αἴρων τὸν ζυγὸν
τῶν διώξεων κατέλιπες
ὄρος Ἄθωνος ταχέως, Δανιήλ,
ἀρωγὲ ἡμῶν ἐν βίου ταῖς στενώσεσι.

Σκέδασον ἡμῶν,
Δανιήλ, ἀχλὺν τῶν θλίψεων
καὶ πρὸς φέγγος καθοδήγησον χαρᾶς
τοὺς ἐκθύμως σε τιμῶντας, ἐνθεώτατε.

**Θεοτοκίον.**

**Κ**όπασον ἡμῶν
τῶν παθῶν, Παρθένε, τάραχον
ἱκεσίαις σου θερμαῖς πρὸς σὸν Υἱόν,
Θεοῦ Λόγον τὸν φιλάνθρωπον καὶ εὔσπλαγχνον.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

**Ε**ὐκλείας με οὐρανῶν ἀξίωσον,
Δανιήλ, τὸν ἀκλινῶς σε ὑμνοῦντα
ὡς Ζαγορᾶς εὐθαλέστατον γόνον,
Ἁγίου Ὄρους στρουθίον φιλέρημον
καὶ Φολεγάνδρου οἰκιστήν,
Ἀρσενίου Ὁσίου διδάσκαλε.

**Ῥ**ωννύμεθα πάντες ἱκεσίαις σου,
Δανιήλ, πρὸς τὸν Θεοῦ Θεὸν Λόγον,
τὸν διὰ σοῦ χριστωνύμων χορείαις
πάσαις δωρούμενον ἄμετρον ἔλεος,
πνευματοφόρε ἀσκητά,
φιλοκάλων πατέρων ὑπόδειγμα.

**Ἀ**ξίωσον, Δανιήλ, ἱκέτας σου
ἀπολαῦσαι χαρμονῆς οὐρανίου,
τοὺς σὲ τιμῶντας ἀλείπτην ὡς θεῖον
τοῦ νεαυγοῦς Ἀρσενίου πρὸς θέωσιν,
καὶ ἐν τοῦ Δάσους τῇ Μονῇ
προσκυνοῦντας τὴν πάνσεπτον κάραν σου.

**Θεοτοκίον.**

**Σ**τενώσεων ἀλγεινῶν καὶ θλίψεων
ἀπολύτρωσαι τοὺς σὲ μελῳδοῦντας,
Θεογεννῆτορ, εἰς πάντας αἰῶνας
τοῦ Δανιὴλ ἱεραῖς παρακλήσεσι,
καὶ ῥῦσαι πάντας συμφορῶν,
ἀναγκῶν καὶ δεινῶν περιστάσεων.

**Δ**ιάσωσον
ἐκ τῶν παγίδων τοῦ ὄφεως σοὺς ἱκέτας,
πνευματέμφορε Δανιήλ, αὐτοῦ ὁ τὰ ἔνεδρα
πατήσας ἀσκήσει, εὐχῇ καὶ νήψει.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τῆς ταπεινώσεως ἔμψυχον σκήνωμα
καὶ προσευχῆς νοερᾶς ἐργαστήριον,
ἐκ Ζαγορᾶς ἀσκητὴν τὸν ὁρμώμενον,
πανευλαβῶς Δανιὴλ εὐφημήσωμεν
ὡς ἐν δεινοῖς εὐσεβῶν ἀντιλήπτορα.

**Προκείμενον. Ἦχος δ΄.**
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.
**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Εὐαγγέλιον· Κατὰ Λουκᾶν (Κεφ. στ΄ 17 - 33 ).**
Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ....

**Δόξα.**

Ταῖς τοῦ Σοῦ Ὁσίου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Ἰδιόμελον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὅσιε πανθαύμαστε,
τῆς ταπεινώσεως στῦλε,
Δανιήλ, ἐκβλάστημα
Ζαγορᾶς θειότατον,
ὄρους Ἄθωνος

ἀσκητὰ πάνσοφε,
θεῖε ὑφηγῆτορ
Ἀρσενίου τοῦ παμμάκαρος
πρὸς ὁλοκλήρωσιν
ἀρετῆς, ἐν Πάρῳ ἀσκήσαντος,
καὶ σκήνωμα περίβλεπτον
ἀγωγῆς ἀμέμπτου, ἱκέτευε
τὸν Θεὸν τῶν ὅλων
ὑψόθεν καταπέμψαι ὑετὸν
ἡμῖν τοῖς σὲ μεγαλύνουσι
δαψιλῶς τῆς Χάριτος.

Σῶσον, ὁ Θεὸς, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Εὐσυμπάθητε πάτερ,
Δανιήλ, Φολεγάνδρου
οἰκῆτορ ἔνθεε,
Σικίνου ἀντιλῆπτορ
καὶ Πάρου θεῖε φύλαξ,
ἐκτενῶς καθικέτευε
σὺν Ἀρσενίῳ Χριστὸν
ὑπὲρ τῶν ὑμνητῶν σου.

Ὑπερεύχου τῶν πίστει,
Δανιήλ, εὐφημούντων
τὰ σὰ παλαίσματα
καὶ κόπους καὶ διώξεις
πρὸς τήρησιν πατρῴων
παραδόσεων, Ὅσιε,
ἄκμον στεῤῥὲ τοῦ χοροῦ
πατέρων Κολλυβάδων.

Λαμπηδὼν ἀπαθείας,
ταπεινώσεως φάρε,
φωστὴρ συνέσεως
καὶ προσευχῆς ἀόκνου
νεόφωτε λυχνία,
Δανιήλ, ἀποδίωξον
χαμαιζηλίας παθῶν
ἡμῶν τὴν σκοτομήνην.

**Θεοτοκίον.**

Οὐρανῶν ὑπερτέρα,
ὑπερόπτας προσύλων
ἡμᾶς ἀνάδειξον
τοὺς μεγαλύνοντάς σε,
Κυρία Θεοτόκε,
παρθενίας ὡς σκήνωμα
καὶ θρόνον πυριφλεγῆ
τοῦ πάντων Βασιλέως.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Γῆθεν ὁδήγει
πρὸς οὐρανίους σκηνώσεις,
Δανιήλ, σοὺς πιστοὺς ὑμνηπόλους,
ἔνθεε ἀλεῖπτα
Ὁσίου Ἀρσενίου.

Ἔμπλησον θάῤῥους
ἡμῶν καρδίας, θεόφρον
Δανιήλ, πάγας πλάνου πατῆσαι,
πτερνιστοῦ ἀρχαίου
τοῦ γένους τῶν ἀνθρώπων.

Ἱκετηρίας
ἡμῶν προσδέχου, τρισμάκαρ
Δανιήλ, ὡς θυμίαμα θεῖον,
τῶν τιμώντων μνήμην
τὴν ἀεισέβαστόν σου.

**Θεοτοκίον.**

Μῆτερ ἁγία,
Θεογεννῆτορ, πολίτην
οὐρανῶν τὸν οἰκέτην σου δεῖξον,
Κεχαριτωμένη,
τὸν σὲ ὑμνολογοῦντα.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Εὐλόγει οὐρανόθεν
καὶ συντήρει πάντας
τοὺς εὐσεβεῖς, Δανιὴλ ἀξιάγαστε,

ἀεὶ ἀπήμονας πλάνου ἐχθίστου μήνιδος.

**Χ**αρίτωσον τοὺς πίστει,
Δανιήλ, οἰκοῦντας
ἐν Ζαγορᾷ, σῇ πατρίδι, καὶ στήριξον
τοὺς κλονουμένους ἐν βίῳ σαῖς παρακλήσεσι.

**Μ**ετὰ τοῦ μαθητοῦ σου,
θείου Ἀρσενίου,
τὸν Ἰησοῦν, Δανιήλ, καθικέτευε
ὑπὲρ ἡμῶν εὐφημούντων τὰ σὰ παλαίσματα.

**Θεοτοκίον.**

**Μ**ὴ παύσῃ δυσωποῦσα
σὸν Υἱόν, Παρθένε,
μόνον εὐΐλατον Κτίστην καὶ Κύριον
ὑπὲρ τῶν πίστει καὶ πόθῳ μακαριζόντων σε.

**Ἄξιόν ἐστι....καὶ τὰ παρόντα Μεγαλυνάρια.**

**Χ**αίροις, πάτερ Ὅσιε, Δανιήλ,
Ζαγορᾶς εὐάνδρου
θεῖον βλάστημα καὶ σεπτὸν
εὐσεβείας γέρας,
ὑπὲρ αὐτῆς προθύμως
ὁ ἐν ἐσχάτοις χρόνοις
ἀγωνισάμενος.

**Χ**αίροις, ταπεινώσεως ὁ κανών,
ὕψος ἀπαθείας,
πάτερ Ὅσιε, Δανιήλ,
χαίροις, Ἀρσενίου
διδάσκαλος Ὁσίου,
ἐν Πάρῳ θαυμασίοις
ἄρτι ἐκλάμψαντος.

**Χ**αίροις, ἐνδιαίτημα προσευχῆς,
ὁ ὑπερμαχήσας
παραδόσεων, Δανιήλ,
τῶν πατρῴων ἄχρι
διώξεων ἀρτίως,
Ἀθωνιτῶν Πατέρων
τίμιον σέμνωμα.

**Σ**κέπε καὶ ἁγίαζε Ζαγοράν,
ἐν Πηλίῳ κώμην
τὴν πατρῴαν σου, Δανιήλ,
καὶ τὴν νῆσον Πάρον
κατέχουσαν ὡς ὄλβον
πολύτιμον σὴν κάραν
τὴν χαριτόβρυτον.

**Χ**αίροις, ὁ θεόπνευστος ἀσκητὴς
Πάρου, Φολεγάνδρου
καὶ Σικίνου, πάτερ σεπτέ,
Δανιήλ, ἀλεῖπτα
Ὁσίου Ἀρσενίου
πρὸς θέωσιν, Σεμνείου
Δάσους οἰκήτορος.

**Τ**ήρει τοὺς ἱκέτας σου, Δανιήλ,
τῆς φιλοκαλίας
ἐνθεώτατε ζηλωτά,
ἀσινεῖς μανίας
τοῦ πτερνιστοῦ τοῦ γένους
μερόπων, Ἀρσενίου
θείου διδάσκαλε.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Κ**ολλυβάδων Ὁσίων Πατέρων σέμνωμα,
φῶς κατιδόντα ἀρτίως
ἡλίου ἐν Ζαγορᾷ,
Δανιὴλ πνευματοφόρον, εὐφημήσωμεν
σκεῦος ὡς Χάριτος σεπτόν,
εὐσεβείας ἐραστὴν
καὶ στῦλον ὀρθοπραξίας,

ὑπὲρ ἡμῶν δυσωποῦντα
θερμῶς Θεὸν τὸν πανευΐλατον.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**

**Ἦχος β´. Ὅτε ἐκ τοῦ Ξύλου.**

**Κ**έρας Κολλυβάδων, Δανιήλ,
ἀσκητῶν καὶ νόμων πατρῴων
ἐν δυσχειμέροις καιροῖς
τηρητὰ πανόσιε,
βλαστὲ θειότατε
Ζαγορᾶς καὶ ὑάκινθε
Χριστοῦ Ἐκκλησίας
εὔοσμε, καθήδυνον
ἡμᾶς πρεσβείαις σου
θείαις πρὸς τὸν Κύριον πάντων,
Ἰησοῦν, παρέχοντα πᾶσι
πλῆθος οἰκτιρμῶν καὶ μέγα ἔλεος.

**Δ**έσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.
**Τ**ὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

**Πάντας τοὺς ἐν Ζαγορᾷ, Δανιήλ, οἰκοῦντας
εὐλόγει καὶ σκέπε, Χαραλάμπης ψάλλει.**

**ΤΕΛΟΣ
ΚΑΙ ΔΟΞΑ
ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ**

**Ἀριθμ. Καταλ. Π. 727/ 22-3-17**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ